οἷς οἶδε χαίρειν πλεῖσθ' ὁ Ποιητῶν ὄχλος·
ἀλλ' ἣν θεωρίαν τιν' ἠκριβωμένην,
καὶ ξύντομ' ὡς οἷόν τε συντεθειμένην·
ἥτις πορίζειν οἶδεν εὐστόχους ὅσους
τρόπους ἀκεσμῶν ἠσφαλισμένους λόγῳ·
ἄλλως τε τῷδ' ἦν ἡδὺς ἐκ παίδων ἔτι
ἔμμετρος ὅστις μᾶλλον ἢ πεζὸς λόγος,
ὡς ξύντομος μὲν, οὐκ ἀνέμφατος δ' ὅμως,
δι' ἐμμελῆ δὲ τῶν ἐπῶν εὐρυθμίαν
μακρῷ τε ῥᾷον ἐντυπούμενος νόῳ,
καὶ δὴ δυσεξίτηλος ἐν μνήμῃ μένων·
τῇ τοῦδε μᾶλλον· ὃς μάλ' ἄσχολος πέλων
πρὸς ἀρκέσει δὴ τῶν νόσοις τρυχουμένων,
τὰ πλεῖστα συντέθεικε διφρεύων Πόλιν
ἀνὰ πλατεῖαν τὴν Δακῶν ὁσημέραι,
ἢ καὶ νοσούντων ἐνδιατρίβων δόμοις,
μνήμῃ δ' ἔσωζεν ἐς γραφῆς εὐκαιρίαν·
οὐδ' ἔσχεν εἶτα ταῦτ' ἀναπτύξ' ἔσθ' ὅπῃ
πεζῇ, σαφηνίσαι τε σημειώσεσι
λύων δοκοῦντα γ' ἀμφιλέκτως πως ἔχειν,
προσεμπεδῶν τε ξυγγραφεῦσι ξυμπνόοις·
εὐεξίας γὰρ ἡνίκ' ηὐπόρει δέμας,
οὐδ' ἠπορεῖτο τηνικαῦτ' εὐκαιρίας,
εἶτ' εὐπορῶν τῆσδ', ἠπορεῖτ' εὐεξίας·
καὶ γὰρ τάδ' ἐκδέδωκεν ἑξήκοντ' ἐτῶν
αὐτὸς γέρων ὢν κἀδρανῶς ἔχων δέμας,

ὄψεις